ἀλλακτέον ἕτερον εἴπῃς, οἷον εἰς ἀπραγμοσύνην καὶ ἡσυχίαν
B ἐκ πολιτείας μεταβαλλόμενος, 'πάλαι γ' ἐχρῆν' φησί 'θορύβων
ἡμᾶς ἀπηλλάχθαι καὶ φθόνων'. ἂν δὲ πάλιν ὁρμᾶν δοκῇς ἐπὶ
τὸ πράττειν καὶ λέγειν, ὑπεφώνησεν 'ἄξια σαυτοῦ φρονεῖς· ἡ
δ' ἀπραγμοσύνη γλυκὺ μέν, ἀλλ' ἄδοξον καὶ ταπεινόν'. εὐθὺς
οὖν λέγειν χρὴ πρὸς τὸν τοιοῦτον

'ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν', (π 181)

οὐ δέομαι φίλου συμμεθισταμένου καὶ συνεπινεύοντος (ἡ γὰρ
σκιὰ ταῦτα ποιεῖ μᾶλλον), ἀλλὰ συναληθεύοντος καὶ συνεπι-
κρίνοντος.

Εἷς μὲν οὖν τῶν ἐλέγχων τρόπος τοιοῦτός ἐστιν· (9) ἑτέ-
ραν δὲ δεῖ ταῖς ὁμοιώσεσι τοιαύτην παραφυλάττειν διαφοράν.
ὁ μὲν ἀληθὴς φίλος οὔτε μιμητής ἐστι πάντων οὔτ' ἐπαινέτης
C πρόθυμος, ἀλλὰ τῶν ἀρίστων μόνων·

'οὐ γὰρ συνέχθειν ἀλλὰ συμφιλεῖν ἔφυ' (Antig. 523)

κατὰ τὸν Σοφοκλέα, καὶ νὴ Δία συγκατορθοῦν καὶ συμφιλο-
καλεῖν, οὐ συναμαρτάνειν οὐδὲ συρραδιουργεῖν, ἂν μή τις
οἷον ὀφθαλμίας ἀπορροὴ καὶ ἀνάχρωσις ἄκοντα δι' ὁμιλίαν
καὶ συνήθειαν ἀναπλήσῃ φαυλότητος ἢ πλημμελείας τινός.
ὥς που καὶ Πλάτωνος ἀπομιμεῖσθαί φασι τοὺς συνήθεις τὸ
ἐπίκυρτον, Ἀριστοτέλους δὲ τὸν τραυλισμόν, Ἀλεξάνδρου δὲ
τοῦ βασιλέως τὴν ἔγκλισιν τοῦ τραχήλου καὶ τὴν ἐν τῷ δια-
λέγεσθαι τραχύτητα τῆς φωνῆς· τὰ γὰρ πολλὰ λανθάνουσιν
D ἔνιοι καὶ ἀπὸ τῶν ἠθῶν καὶ ἀπὸ τῶν βίων ἀναλαμβάνοντες.
ὁ δὲ κόλαξ ἀτεχνῶς τὸ τοῦ χαμαιλέοντος πέπονθεν. ἐκεῖνός τε
γὰρ ἁπάσῃ χρόᾳ πλὴν τοῦ λευκοῦ συναφομοιοῦται, καὶ ὁ
κόλαξ ἐν τοῖς ἀξίοις σπουδῆς ὅμοιον ἑαυτὸν ἐξαδυνατῶν παρ-
έχειν οὐδὲν ἀπολείπει τῶν αἰσχρῶν ἀμίμητον, ἀλλ' ὥσπερ οἱ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/112 UNIVERSITÄT LEIPZIG